Οὗ ἂν διδοίη καιρὸς ἔργων δηΐων.
Μεθ' ἅττ' ἄνασσα οἰακίζουσ' ἀρχεῖον,
Γέραιρε ταξίαρχον ἐν καταφράκτοις
Ἱππεῦσιν ὀθνείοισι μισθαρνουμένοις.
Τοίᾳ στρατειᾷ, ἀπφύος στραταρχοῦντος,
Πρὸς Ἱσπανοὺς πρόσκρουε καὶ φυγὴν τράπεν,
Ὡς μὴ ἐπαρκεῖν τρινίοις λοχωμένοις
Ἄλλοις πολισμάτων τε Ταυρινοῦ ἕδους.
Διϊθύνοντα δ' ἶφι καὶ Ἄσταν πόλιν,
Πολισμάτων τ' ἐχυρὰ ὅσσ' ἐπαρχίης,
Ἄναξ ἀγασθεὶς ἀνδρὸς ἀγαθουργίας
Πρύτανιν ἡρέτιζε Γαλλικῶν ὅπλων.
Μετὰ κτέρος πατρὸς δὲ φαιδροῦ Γουΐδου,
Μαρησίαλον ἵστα ἐς τὸ πᾶν κράτους.
Ὡς γνῷ δὲ πᾶς τις οἷα ἦν περὶ πλείστου
Καὶ πὰρ μέδοντι, μητρὶ κεδνῇ τ' ἀνάσσῃ,
Ἡ γραμμάτων σύστασις ἀμφοῖν ἀγγέλλει.
Πατρὸς τελευτῆς ἄνδρα συμπαρμυθοῦντοιν,
Καὶ ἀξίας, ὅσσας τε αὐτὸς κληροῦτο,
Τούτῳ προσῆπτον οἱ πανεικέλῳ φῦντι,
Εἴ γ' ἐν μάχαισιν ἦν δεδειγμένος.

ΤΕΛΟΣ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ